πάντα γίνεται· Ἀναξιμένης μίαν καὶ ἄπειρον καὶ ὡρισμένην ἀέρα λέγων αὐτήν· οἱ δὲ πολλὰς καὶ πεπερασμένας· οἱ μὲν δύο, ὡς οἱ Στωϊκοί, Θεὸν καὶ ὕλην· ἔνιοι δὲ πῦρ καὶ γῆν, ἢ μᾶλλον φῶς καὶ σκότος· Ἀριστοτέλης, τρεῖς, τὴν ὕλην καὶ τὰ ἐναντία· Ἐμπεδοκλῆς, τὰ τέσσαρα στοιχεῖα, τὰς δὲ κυρίως ἀρχὰς ὑφ' ὧν ταῦτα κινεῖται, φιλίαν καὶ νεῖκος· οἱ δὲ ἀπείρους λέγοντες. Οἱ μὲν ἁπλᾶς ταύτας ἔλεγον καὶ μὴ ὁμογενεῖς, τὰς ὁμοιομερείας τιθέντες ἀρχάς, ὧν Ἀναξαγόρας ἦν, τὰς μὲν ὑλικὰς ἀρχὰς ἀπείρους ποιῶν, τὴν δὲ τῆς κινήσεως αἰτίαν καὶ γενέσεως μίαν, τὸν νοῦν. Λεύκιππος δὲ ἄπειρα καὶ ἀεὶ κινούμενα στοιχεῖα ἔλεγε τὰς ἀτόμους. Δημόκριτος δὲ ὁ Ἀβδηρίτης τὸ πλῆρες ἀρχὰς ἔθετο καὶ τὸ κενόν, ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν ἐκάλει. Τούτῳ καὶ Μητρόδωρος ἠκολούθησεν ὁ Χῖος:

| Ἕκαστος τῶν ψευδῆ δόξαν εἰσαγόντων ἢ φυλάττει τὰς ἀρχὰς τῶν f. 47v ὑποκειμένων τῇ δόξῃ, καὶ δεῖ πρὸς αὐτὸν τοὺς φυσικοὺς ἀγωνίζεσθαι· ἢ ἀναιρεῖ, καὶ οὐδεὶς πρὸς αὐτὸν λόγος τῷ φυσικῷ. Καὶ πάλιν, ἢ ἀποφαντικῶς αὐτὴν εἰσάγει, ἢ καὶ συλλογισμῷ δοκεῖ χρῆσθαι· κἄν τε γοῦν ἀποφαίνηται, κἄν τε δῆθεν συλλογίζηται ἀπεμφαῖνόν τι καὶ παράδοξον ἔχοντος τοῦ λόγου, οὐδεὶς ἂν πρὸς αὐτὸν τῷ φυσικῷ γένοιτο λόγος. Εἰ τοίνυν ὁ Παρμενίδου καὶ Μελίσσου λόγος καὶ τὰς ἀρχὰς ἀναιρεῖ καὶ παράδοξόν τι καὶ ἀπεμφαῖνον τίθεται, ἓν εἶναι λέγων τὸ ὄν, καὶ ἐν τῷ συλλογίζεσθαι βούλεσθαι, οὐ μόνον ψευδεῖς λαμβάνει τὰς προτάσεις, ἀλλὰ καὶ ἀσυλλογίστως συνάγει, διὰ ταῦτα πάντα οὐκ ἀνάξιος ἀντιλογίας εἴη, καὶ μάλιστα τῷ φυσικῷ, οὗ τὰς ἀρχὰς ἀναιρεῖ: —

Εἰ ἕν ἐστι, καὶ ἀκίνητον δεῖ εἶναι· κινούμενον γὰρ μεταβολὴν ἕξει πόθεν ποῖ, καὶ ἀπὸ διαθέσεως εἰς διάθεσιν, καὶ οὐκέτι ἕν. Ἀλλὰ καὶ ἄπειρον δεῖ εἶναι· εἰ γὰρ πεπερασμένον, ἕξει καὶ πέρας καὶ περατοῦν· τοιοῦτον δὲ ὄν, μέσον καὶ ἔσχατον ἕξει· ταῦτα δὲ ἔχον πᾶσα ἀνάγκη μέρη ἔχειν. Καὶ γὰρ ζῷα καὶ φυτὰ πάντα κινούμενα φαίνεται, καὶ τὰ ἁπλᾶ στοιχεῖα, καὶ οὐρανὸς καὶ ἄστρα. Τὸ δέ· „ἢ ἔνια“ εἶπε διὰ τοὺς πόλους καὶ τὰ κέντρα τοῦ παντός, καὶ τοὺς ἄξονας, φύσει τε ὄντας καὶ ἀκινήτους τυγχάνοντας, ὑποτίθεται δὲ νῦν κινεῖσθαι, οὐ τὰς φυσικὰς ἀρχάς, ἀλλὰ τὰ φύσει ὧν ζητεῖ τὰς ἀρχάς:

Ὑποθέμενος τὸ ἀληθὲς πρὶν τὸ ψεῦδος ἐλέγξαι, τὴν αἰτίαν προστίθησιν, οὐκ ἄτοπον εἶναι λέγων, πρὸ τοῦ λύσαι τοὺς ἐναντίους λόγους, ὑποθέσθαι τὰ ἐκ τῆς ἐναργείας μαρτυρούμενα· ὥσπερ οὐδὲ λύειν ἅπαντα ἀνάγκη.

Τὸ ἄπειρον ἐν τῷ ποσῷ ἐστιν ἢ ὡς ἐν γένει· τοῦ γὰρ ποσοῦ τὸ μὲν ἄπειρον, τὸ δὲ πεπερασμένον· ἢ ὅτι τοῦ ἀπείρου καθ' αὑτὸ τὸ πόσον κατηγορεῖται· ἄπειρον γάρ ἐστι ποσὸν ἀδιεξίτητον, εἰ λέγοι τις ἄπειρον τὸ πεπονθὸς τὴν ἀπειρίαν· καὶ πάλιν ἄπειρόν ἐστι πάθος ποσότητος, εἰ λέγοι τὴν ἀπειρίαν αὐτήν· διχῶς γὰρ τὸ ἄπειρον, ἥ τε ἀπειρία καὶ τὸ

Ε.Υ.Ζ.Τ.Ε.Κ. τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ταύτην πεπονθός. Πανταχόθεν οὖν χρῆται τῷ ποσῷ ὁ τοῦ ἀπείρου ὁρισμός. Καθ' αὑτὸ ἄρα ὑπάρχει τῷ ἀπείρῳ τὸ ποσόν· ὥστε καὶ μόνῳ· οὐ γὰρ οἷόν τε πλείοσιν ἀνομογενέσι τὸ αὐτὸ καθ' αὑτὸ ὑπάρχειν.

Τὸ ἕν, ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ. Ἀλλὰ τὸ τῷ μὲν γένει ἢ εἴδει ἓν οὐκ ἠξίωσεν ὁ Ἀριστοτέλης θέσθαι νῦν, ὡς προφανῶς εἰσάγοντα τὸ πλῆθος. Τὸ δὲ ἐν τῷ ἀριθμῷ λαβὼν καὶ διελόμενος, ὃ καὶ μάλιστα ἕν ἐστιν, ἐντεῦθεν τὴν ἀντιλογίαν ποιεῖται. Τὸ γὰρ ἓν τῷ ἀριθμῷ καὶ αὐτὸ πολλαχῶς λέγεται· καὶ ὡς τὸ συνεχές, ὡς μίαν εἴποιμι ἂν τὴν γραμμήν· καὶ ὡς τὸ ἀδιαίρετον φύσει, ὡς τὸ σημεῖον καὶ ἡ μονάς· καὶ ὡς τὰ τὸν αὐτὸν ἔχοντα λόγον, κἂν ὀνόμασι διαφέρῃ, ὡς λώπιον καὶ ἱμάτιον. Κατ' ἄλλην δὲ πάλιν διαίρεσιν, τὸ μὲν δυνάμει ἓν λέγεται, τὸ δὲ ἐνεργείᾳ, καὶ οὕτως ἔχει πρὸς ἄλληλα ταῦτα ἐν τῇ γενέσει, ὡς τὸ μὲν ἐνεργείᾳ ἓν δυνάμει πολλὰ εἶναι, τὸ δὲ δυνάμει ἕν, ἐνεργείᾳ πολλά, ὡς ἐπὶ τοῦ κηροῦ. Εἰ μὲν οὖν ὡς συνεχὲς ἐροῦσι τὸ ὂν ἕν, ἔσται ἐνεργείᾳ μὲν ἕν, δυνάμει δὲ πολλὰ καὶ ἄπειρα· συνεχὲς γάρ ἐστιν οὗ τὰ μόρια συνάπτει πρὸς ἕνα κοινὸν ὅρον καὶ ὃ διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά. Εἰ οὖν τὸ ὂν ἓν ὡς τὸ συνεχές, τὸ δὲ συνεχὲς πολλά, τὸ ἓν πολλὰ ἔσται, τὰ δὲ πολλὰ οὐχ ἕν. Τὸ αὐτὸ ἄρα ἕν τε καὶ οὐχ ἓν ἔσται:

Πολλαχῶς δὲ καὶ τὸ συνεχές· ἢ ὡς γραμμή, ἢ ὡς ἐπιφάνεια, ἢ ὡς σῶμα, ἢ ὡς κίνησις, ἢ ὡς χρόνος. Πῶς οὖν κατὰ ταῦτα ἓν τὸ ὄν, ἑκάστου εἰς πολλὰ εἴδη διαιρουμένου;

f. 48 | Εἰ ἓν τὸ μέρος καὶ τὸ ὅλον, μέρος ἔσται τὸ ὅλον, καὶ τὸ μέρος ἐκ πολλῶν ὅλων ἔσται. Εἰ δὲ ἕτερον τὸ μέρος καὶ τὸ ὅλον, τὰ δὲ μέρη ποιοῦσι τὸ ὅλον, ἔσται τὸ ὅλον ἕτερον ἑαυτοῦ. Καὶ δὴ ἐν τῇ ἀπορίᾳ φησὶν οὐ μόνον ἐπὶ τῶν συνεχῶν μερῶν, ἀλλὰ καὶ ἐπὶ τῶν διωρισμένων, ἢ τῶν κατὰ παράθεσιν, ὡς ἐπὶ τῆς οἰκίας· ἢ τῶν ἀφεστηκότων, οἷον χειρὸς καὶ ποδός. Εἰ γὰρ ἡ χεὶρ τοῦ Σωκράτους ἡ δεξιὰ καὶ ὁ Σωκράτης ἕν, καὶ ἡ ἀριστερὰ πάλιν καὶ ὁ Σωκράτης ἕν, καὶ ἡ ἀριστερὰ καὶ ἡ δεξιὰ ἓν ἔσονται· τοῦτο γάρ ἐστι τὸ „καὶ εἰ τῷ ὅλῳ ἓν ἑκάτερον".

Τὸ ἀδιαίρετον τριχῶς· τὸ μήπω διῃρημένον, οἷόν τε δὲ διαιρεθῆναι, ὡς τὸ συνεχές· τὸ μηδόλως διαιρεῖσθαι πεφυκός, ὡς τὸ ἀμερές, ἡ στιγμὴ καὶ ἡ μονάς· τὸ μόριον μὲν ἔχον καὶ μέγεθος, ἀπαθὲς δὲ διὰ στερεότητος ἢ ναστότητος, ὡς ἑκάστη τῶν Δημοκρίτου ἀτόμων. Εἰ μὲν οὖν ἓν τὸ ὄν, ὡς τὸ συνεχές, πολλὰ πάλιν ἔσται τὸ ὄν. Εἰ δὲ ὡς ἡ ἄτομος, πρῶτον μὲν ἄτοπον μίαν λέγειν ἄτομον τὰ πάντα· εἶτα καὶ αὐτὴ συνεχὴς καὶ διαιρετὴ ἐπ' ἄπειρον, δυνάμει τε πολλά, ποσότητά τε τοῦ μεγέθους καὶ ποιότητα τοῦ σχήματος ἔχουσα. Εἰ δὲ ὡς μονὰς καὶ στιγμή, οὔτε ποιόν τι ἔσται τῶν ὄντων· τὸ γὰρ ποιὸν ἐν διαιρετοῖς σώμασιν· οὔτε ποσόν· τὸ γὰρ ἀδιαίρετον πέρας τοῦ ποσοῦ· ὥστε οὔτε ἄπειρον τὸ ὄν, οὔτε

Ε.Υ.Δ.Ε.Π.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πεπερασμένον. πᾶν μὲν γὰρ ἄπειρον καὶ πεπερασμένον. ποσόν τι· οὐδὲν δὲ ἀδιαίρετον κατὰ πλῆθος ἢ μέγεθος, ποσόν.

Ἐθορυβοῦντο καὶ οἱ ὕστερον πῶς ἂν εἴη δυνατὸν τὸ αὐτὸ ἓν ἅμα καὶ πολλὰ εἶναι, καὶ διὰ τοῦτο τῆς μὲν οὐσίας τὸ ἔστι κατηγόρουν, λέγοντες· Σωκράτης ἔστι· τῶν δὲ συμβεβηκότων τῇ οὐσίᾳ ἀφῄρουν τὸ ἔστι· μετὰ μὲν γὰρ τῆς οὐσίας τὸ ἔστι μὴ ποιεῖ πλῆθος· τοῖς δὲ συμβεβηκόσι προσκείμενον εἶναι καὶ αὐτοῖς ποιεῖ καὶ οὐσιοῖ. Καὶ ταῦτα μετὰ τῆς οὐσίας συμπλέκω, ὅταν εἴπω· Σωκράτης λευκός ἐστι. Δύο γὰρ ὄντα γίνεται· διὸ ὁ Λυκόφρων ἀφῄρει τὸ ἔστιν, ὡς αὐτῶν καθ' αὑτὰ τῶν συμβεβηκότων ἄνευ τοῦ ἔστι μὴ ποιούντων ὄντος προσθήκην:

Τὸ ὂν οὐ γέγονε· τὸ μὴ γεγονὸς ἀρχὴν οὐκ ἔχει, ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει· τὸ μὴ ἔχον ἀρχὴν ἄπειρον· τὸ ἄπειρον μεθ' ἑτέρου δευτέρου οὐκ ἂν εἴη, ἀλλ' ἕν· τὸ δὲ ἓν καὶ ἄπειρον ἀκίνητόν ἐστιν:

Τὸ γενόμενον ἅπαν τὴν μὲν κατὰ χρόνον ἀρχὴν ἔχει, ἀφ' ἧς ἤρξατο γίνεσθαι, ἥτις καὶ γενέσεως ἐστὶν ἀρχή· οὐχ ἅπαν δὲ τὴν κατὰ τὸ πρᾶγμα, ἀλλὰ τὰ μὲν κατ' οὐσίαν γινόμενα καὶ ἡ τούτων γένεσις, ἥτις καὶ ἁπλῆ λέγεται διὰ τὸ καθ' αὑτὰ γίνεσθαι, οὐ μόνον τὴν κατὰ χρόνον ἀρχὴν ἔχει, ἀλλὰ καὶ ἀπὸ μορίου τινὸς τοῦ πράγματος ἄρχεται, ὡς ἡ μὲν τῶν ζῴων ἀπὸ καρδίας, ἢ ὀμφάλου· τῶν δὲ φυτῶν ἀπὸ ῥιζῶν· τῶν δὲ οἴκων ἐκ θεμελίων· τὰ δὲ κατὰ τὰς ἄλλας κατηγορίας οὐχ ἁπλῶς λέγεται γίνεσθαι οὐδὲ πραγματικὴν ἔχειν ἀρχήν. Σωκράτης μὲν γὰρ αὐτὸς καθ' αὑτὸν γίνεται· θερμὸν δὲ οὐ καθ' αὑτό, ἀλλὰ θερμὸν σῶμα. Ἐπεὶ δὲ καὶ τὰ ἀλλοιώματα λέγεται γίνεσθαι, καὶ γένεσίς τις ἐστὶ καὶ ἡ ἀλλοίωσις· γίνεται γὰρ λευκὸν ἐκ μέλανος. Ἐπὶ τούτων οὐκ ἀληθές, ὅτι πᾶν τὸ γινόμενον ἀρχὴν ἔχει τὴν κατὰ τὸ πρᾶγμα, ἀλλ' ἔνια καὶ ἀθρόως καθ' ὅλα τὰ μέρη αὐτῶν ἄρχεται ἀλλοιοῦσθαι· ἢ ὁτιοῦν μέρος ἀθρόως ἀλλοιοῦται, καὶ αὐτὸ ἐπ' ἄπειρον ὂν διαιρετόν, ὥσπερ ἔχει ἐπὶ τῶν πηγνυμένων καὶ τοῦ φωτισμοῦ τοῦ ἀέρος. Διὰ ταῦτα δὴ πάντα δοκεῖ μὴ καλῶς εἰληφέναι τὸ γινόμενον πᾶν ἀρχὴν ἔχειν τὴν κατὰ τὸ πρᾶγμα· ὥστε οὐκ ἀληθὴς ἡ πρόσληψις ἡ λέγουσα· ἀλλὰ μὴν τὸ γινόμενον ἀρχὴν ἔχει. Ἀλλὰ καὶ ἡ κατὰ τὴν ἀντιστροφὴν πρότασις· τὸ μὴ γινόμενον ἀρχὴν οὐκ ἔχει, οὐ μόνον ἡμάρτηται κατὰ τὸ εἶδος τῆς ἀντιστροφῆς, ἀλλὰ καὶ ψευδής ἐστιν, εἴ τις τὴν ἀρχὴν πάλιν κατὰ τὸ πρᾶγμα λάβοι. ἀλλὰ μὴ κατὰ χρόνον· ἥλιος γὰρ καὶ σελήνη καὶ οὐρανός, ἀγένητα ὄντα κατὰ τὸν Ἀριστοτέλην, εἰ καὶ τῇ ἀληθείᾳ γενητά εἰσιν, τὴν κατὰ χρόνον ἀρχὴν οὐκ ἔχει, τὴν δὲ κατὰ τὸ πρᾶγμα· πεπέρασται γάρ· ἣν καὶ πέρας προσαγορεύομεν καὶ μεγέθους ἀρχήν: —

16 τὴν sic A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 48v | Ἕν τι τοῦ ὄντος λαβὼν ὁ Ἀριστοτέλης, ἐπὶ τούτου δείκνυσι τὸ ἀσυμπέραντον, νῦν μὲν ὡς συμβεβηκός τι λαμβάνων τὸ ὄν, μετ' ὀλίγον δὲ ὡς οὐσίαν, καὶ καθ' ἑκάτερον δεικνὺς μὴ δυνάμενον ἓν εἶναι τὸ ὄν. Εἰ γὰρ μόνον εἴη τὸ λευκὸν καὶ μηδὲν ἄλλο, ὡς πᾶν παρὰ τὸ λευκὸν μὴ ὂν εἶναι, καὶ τὸ μὴ ὂν μηδέν, οὐδ' οὕτως ἓν δείκνυται τὸ λευκὸν ἀριθμῷ, ἀλλ' εἴπερ ἄρα τῷ γένει, ἢ τῷ εἴδει, ὅπερ καὶ πολλά ἐστιν. Τὸ δὲ μὴ εἶναι ἓν τῷ ἀριθμῷ δείκνυσι λέγων μήτε τῇ συνεχείᾳ ἓν εἶναι τὸ λευκόν, ἐναργῶς διακεκριμένων ἀπ' ἀλλήλων τῶν λευκῶν, μήτε τῷ λόγῳ. Ἕκαστον γὰρ τῶν λευκῶν διαιρεῖται εἴς τε τὸ μετέχον λευκότητος καὶ εἰς τὸ μετεχόμενον, ὧν ἑκατέρου λόγος ἴδιος. Τὸ δὲ ὡς ἀδιαίρετον ὡς ἐναργῶς ἄτοπον παρῆκεν εὐθύνειν, ὡς σωματικοῦ πέρατος ὑποτεθέντος τοῦ ἀδιαιρέτου· ὥστε πολλὰ ἔσται τὰ λευκά, καὶ μενούσης ἀληθοῦς τῆς λεγούσης προτάσεως· τὸ παρὰ τὸ λευκὸν οὐδέν. Οὐ δεῖ δὲ ταράττεσθαι, κἂν ἀναγκασθῶμεν, ἕτερον τῷ λόγῳ λέγοντες τὸ συμβεβηκὸς παρὰ τὸ ὑποκείμενον, χωριστικὴν αὐτῷ δοῦναι τοῦ ὑποκειμένου τὴν ὑπόστασιν· οὐ γὰρ ἀνάγκη ὧν ὁ λόγος ἕτερος, ταῦτα καὶ καθ' ὑπόστασιν ἀλλήλων κεχωρίσθαι.

Ὑποθέμενος διὰ τοῦ λευκοῦ τὴν τοῦ συμβεβηκότος φύσιν εἶναι τὸ ὄν, ἔδειξεν ὅτι κατὰ ταύτην τὴν ὑπόθεσιν οὐ δυνατὸν ἓν εἶναι τὸ ὄν. Προστίθησι δὲ καὶ ἄλλην τοῦ αὐτοῦ ἀπόδειξιν νῦν. Εἰ γὰρ τὸ συμβεβηκός ἐστι τὸ ὄν, ἐκεῖνο ᾧ τοῦτο συμβέβηκεν καὶ ἓν ἔσται καὶ οὐκ ὂν κατὰ ταὐτόν· καθὸ μὲν γὰρ συμβέβηκεν αὐτῷ τὸ ὄν, ἕτερον τοῦ ὄντος οὐκ ὄν ἐστι· μόνον γὰρ ἦν τὸ συμβεβηκὸς ὄν. Πάλιν δὲ καθόσον αὐτῷ συμβέβηκε τὸ ὄν, κατὰ τοῦτο ὄν ἐστι· τὸ γὰρ ὑποκείμενόν τινι τὴν τοῦ συμβεβηκότος αὐτῷ κατηγορίαν ἢ ὁμωνύμως, ἢ παρωνύμως ἀναδέχεται· διὸ καὶ ᾧ τὸ λευκὸν συμβέβηκε, τοῦτο λευκόν· ὥστε καὶ ᾧ τὸ ὂν τοῦτο ἔσται, ἔσται τι ἄρα τὸ ὄν, καὶ οὐ κατ' αὐτό· ὥστε ἀδύνατον τὸ ὂν λέγειν τὸ συμβεβηκός, καὶ τὸ οὐσίαν εἶναι ἀδύνατον· εἰ γὰρ μόνον τὸ ὅπερ οὐκ ἔστιν ὄν, τὸ συμβεβηκὸς αὐτῷ οὐκ ὂν ἔσται, οἷον τὸ λευκόν. Εἰ οὖν τὸ ὅπερ ὂν καὶ λευκὸν διὰ τὸ συμβεβηκέναι αὐτῷ τὸ λευκόν, τὸ δὲ συμβεβηκὸς αὐτῷ οὐκ ὄν ἐστιν, καὶ τὸ μετέχον ἄρα καὶ ᾧ συμβέβηκεν οὐκ ὂν ἔσται ἁπλῶς· ᾧ γὰρ τὸ μὴ ὂν συμβέβηκεν οὐκ ὄν ἐστιν, ὥσπερ ᾧ τὸ ὂν συμβέβηκεν, ὄν· καὶ ἡ οὐσία οὖν, ἤτοι τὸ ὅπερ ὄν, οὐκ ὂν ἔσται ἁπλῶς, καὶ τὸ αὐτὸ κυρίως ὄν, καὶ μὴ ὂν κυρίως. Εἰ οὖν ταῦτα καὶ δύναται καὶ ἔστιν ὂν τὸ ὅπερ ὂν ὥσπερ ὑπόκειται, ἀνάγκη καὶ τὸ συμβεβηκὸς αὐτῷ ὂν εἶναι καὶ ὅπερ ὄν, εἴπερ μηδὲν ἄλλο ἐστὶ παρὰ τὸ ὅπερ ὄν· ὥστε πλείω ἐστὶ τὸ ὄν, καὶ οὐκέτι ἓν τὸ ὄν.

Εἰ ἕν ἐστι, φησί, τὸ ὄν, οὐδὲ μέγεθος ἕξει· εἰ δὲ τοῦτο, οὐδὲ πεπερασμένον οὐδὲ ἄπειρον ἔσται. Ὅτι δέ, εἰ ἓν ἐστιν, οὐχ ἕξει μέγεθος, δῆλον, εἴπερ τὸ μὲν ἓν οὐκ ἔστι πολλά, οὐδ' ἔχει πολλά· τὸ δὲ μέγεθος ἔχον

μέρη ἔχει· τὸ δὲ μέρη ἔχον πολλὰ ἔχει καὶ πολλά ἐστι, διότι τῶν μερῶν ἑκάστῳ ἕτερον τῷ εἶναι· μήποτε δὲ ἐπάγει αὐτοῖς τοῦτο τὸ ἄτοπον, ὅτι εἰ ἓν ὑποτέθῃ τὸ ὄν, οὐδὲν ἐν τοῖς οὖσιν ἔσται μέγεθος ἔχον, οὐδὲ ὅλον καὶ μέρη, ὃ παρὰ τὴν ἐνάργειάν ἐστι:

Εἰ ἓν ὂν ἐστιν, οὐκ ἔχει μέγεθος, ὅτι οὐ διαιρεῖται. Εἰ δὲ διαιρεῖται, ὥσπερ φαίνεται κατὰ τὸν ὁρισμόν, οὐκ ἔστιν ἕν. Καὶ τὸ μὲν συνημμένον ἔδειξε διὰ τοῦ τὸ μέγεθος διαιρεῖσθαι· τὸ δὲ διαιρεῖσθαι τὸ ὅπερ ὄν, ἐκ τοῦ ὁρισμοῦ δείκνυσιν· ὡς γὰρ ἔχει ὁ ὁρισμός, οὕτως ἔχει καὶ τὸ ὁριστόν. Εἰ οὖν ἀνθρώπου λόγος ὁριστικός· τὸ ζῷον πεζὸν δίπουν, καὶ τὰ μέρη τούτου, λέγω δὴ τὸ ζῷον καὶ τὰ λοιπά, ὅπερ τινὰ καὶ ὄντα ἐστὶ καὶ τοῖς λόγοις ἕτερα· ἢ γὰρ οὐσία ἐστίν, ἢ συμβεβηκότα· εἰ γοῦν συμβεβηκότα, ἢ αὐτῷ τῷ ἀνθρώπῳ, ἢ ἄλλῳ τινί· ἄμφω δὲ ἀδύνατα. Εἰ γὰρ συμβέβηκε τῷ ἀνθρώπῳ, ἢ ὡς χωριστὸν αὐτοῦ, καὶ ἔσται ποτὲ μὲν ζῷον· ἢ ὡς ἀχώριστον, καὶ ἔσται ἐν τῷ τοῦ ζῴου, ἢ τοῦ πεζοῦ λόγῳ εἰλημμένος ὁ ἄνθρωπος. Εἰ δὲ ἄλλῳ, καὶ τὸ ἐκ τούτων συμπληρούμενον, δηλονότι ὁ ἄνθρωπος, ἐκείνῳ συμβήσεται. Ἀλλ' ἔστιν ὁ ἄνθρωπος οὐσία καὶ ὅπερ ὄν· τὸ δὲ ὅπερ ὂν ὑπόκειται μηδενὶ συμβεβηκός· ὥστε οὐδὲ τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα συμβεβηκὸς ἔσται, ἀλλὰ πάντα ὅπερ ὄντα τινά· ὥστε διαιρεῖται τὸ ὂν εἰς ὄντα· καὶ πολλὰ πάλιν οὕτως ἔσται τὰ ὄντα:

Εἰ δὲ μὴ πολλά, ἀλλὰ ἓν τὸ ὄν, ἕκαστα οὔτε μέγεθος ἕξει, οὔτε ὅλον, οὔτε μέρη ἔσται. Ἀλλ' οὐδὲ ὁρισμὸς ἔσται τινός· οὐδὲ γὰρ ὁ λόγος ἕξει μέρη ἐξ ἀδιαιρέτων· ἄρα τῶν κατὰ μέρος, οἷον ἀνθρώπου καὶ ἵππου τὸ πᾶν. Εἴπερ τούτων μηδὲν διαιρετόν, καὶ δῆλον ὅτι τὸ ἀδιαίρετον καὶ αὐτὸ τὸ πᾶν ἐστιν ὂν καὶ λεγόμενον.

| Καὶ ὁ ἄνθρωπος εἴη ἄν, φησί, τῶν συμβεβηκότων ἑτέρῳ. Εἶτα f. 49
ὑπερβάς, ἀνάγνωθι· *Καθ' οὗ γὰρ λέγεται ἄμφω, ἑκάτερον ἢ ἕκαστον τῶν μερῶν, κατὰ τούτου καὶ τὸ ἐκ τῶν μερῶν λεγέσθω.* Τοῦτο δὲ ἄτοπον τὸ τὸν ἄνθρωπον συμβεβηκέναι· τὸ γὰρ ὅπερ ὂν μηδενὶ ἔστω συμβεβηκός. Κατὰ δὲ τὴν ἄλλην γραφὴν οὕτω νοεῖται· *καθόλου τὸ ἐκ τῶν μερῶν συγκείμενον, τοῦτο (τοῦτο) ἔστω καὶ λεγέσθω, ὅπερ καὶ τὰ μέρη ἄμφω,* καὶ εἰς ἑκάτερά εἰσι συμβεβηκότα καὶ τὸ ὅλον, ἢ μᾶλλον ἀνάπαλιν, ὅτι καὶ τὰ μέρη λεγέσθω ὅπερ τὸ ἐκ τῶν μερῶν· τὸ δὲ ἐκ τῶν μερῶν οὐσία ἦν καὶ ὅπερ ὄν, καὶ οὐδενὶ συμβεβηκός· καὶ τὰ μέρη ἄρα οὐσίαι, καὶ τὰ λοιπά:

Εἰ τοίνυν τὸ ἕν, ὡς εἴρηται πρότερον, ἢ ὡς συνεχές ἐστιν ἕν, ἢ ὡς ὤν, ὁ λόγος ὁ αὐτὸς ἢ ὡς τὸ ἀδιαίρετον· δέδεικται δὲ τὸ ἓν μήτε μέγεθος ἔχειν δυνάμενον, μήτε ἀδιαίρετον ὄν, δηλονότι κατ' οὐδὲν τῶν τοῦ

3 *εἰ ἓν ὑποτέθῃ* sic A    31 *τοῦτο* répété A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἑνὸς σημαινομένων ἓν ἂν εἴη τὸ ὄν. Ἐξ οὐσιῶν ἄρα τὸ πᾶν, καὶ οὕτω πολλὰ τὰ ὄντα, κἂν μὴ διαιρῆται τὸ πᾶν ἐνεργείᾳ:

Τῇ προτάσει τοῦ Παρμενίδου, τῇ παρὰ τὸ ὂν οὐκ ὄν, φησὶν ἐνδοῦναι τὸν Πλάτωνα· καὶ γὰρ τὴν κίνησιν καὶ τὴν στάσιν καὶ τὸ ταὐτὸν καὶ τὸ ἕτερον ἕτερα τοῦ ὄντος εἶναί φησι· τὸ δὲ οὐκ ὂν οὐδὲν οὐκέτι συγχωρεῖν. Καὶ γὰρ τὰ ἕτερα τοῦ ὄντος, κἂν μὴ ὄντα ᾖ, ἀλλ' ὅμως εἶναί φησι, καὶ ταύτῃ τὸ μὴ ὂν εἰσάγει. Ὁ μὲν Ἀριστοτέλης οὔτε μοναχῶς λέγεσθαι τὸ ὂν συγχωρεῖ, οὔτε ἐνδίδωσι τῇ προτάσει, εἰ μή τις τὸ οὐκ ὂν λέγοι ὡς οὐσία μὲν οὐκ ἔστι, ἄλλο δέ τι εἶναι οὐ κωλύεται:

Ὁ δεύτερος λόγος, ὁ τοῦ Ζήνωνος, ᾧ ἐνέδοσαν οἱ περὶ Ξενοκράτους· ὧν καθάπτεται ὡς ἐναντίον τῷ· εἰ μὴ ἓν εἴη τὸ ὂν καὶ ἀδιαίρετον, ἀνάγκη ἄπειρα καὶ πλήθει καὶ μεγέθει εἶναι τὰ ὄντα· καὶ διὰ τοῦτο ἀτόμους γραμμὰς ὑποθεμένων, ἵνα καὶ πολλὰ ᾖ τὰ ὄντα καὶ μὴ ἐπ' ἄπειρον τὸ πλῆθος καὶ τὸ μέγεθος προχωρῇ, καίτοι πάλιν ἀντιφάσει δοκοῦσι περιπίπτειν, μέγεθος ἀμέγεθες λέγοντες:

Τῶν φυσικῶν οἳ μὲν ἓν τὸ ἐξ οὗ καὶ τὸ στοιχεῖον λέγουσιν εἶναι· οἳ δὲ πολλά. Τῶν δὲ ἓν λεγόντων δύο τρόπους φησὶν εἶναι· ἕνα μέν, καθ' ὃν καὶ τοῦ ὑλικοῦ ἑνὸς μεταβάλλοντος καὶ ἀλλοιουμένου τῇ μανότητι καὶ πυκνότητι, τὰ ἄλλα γεννῶσιν, ὡς Ἀναξιμένης ἀραιούμενον μὲν τὸν ἀέρα πῦρ γίνεσθαί φησιν, πυκνούμενον δὲ ἄνεμον, εἶτα νέφος, εἶτα ἔτι μᾶλλον ὕδωρ, εἶτα γῆν, εἶτα λίθους, τὰ δὲ ἄλλα ἐκ τούτων· ἕτερον δέ, καθ' ὃν οὐκέτι τὴν μεταβολὴν τῆς ὕλης αἰτιῶνται, οὐδὲ κατ' ἀλλοίωσιν τοῦ ὑποκειμένου τὰς γενέσεις ἀποδιδόασιν, ἀλλὰ κατὰ ἔκκρισιν· ἐνούσας γὰρ τὰς ἐναντιότητας τῷ ὑποκειμένῳ ἀπείρῳ ὄντι σώματι ἐκκρίνεσθαί φησιν Ἀναξίμανδρος, πρῶτος αὐτὸς ἀρχὴν ὀνόμασας τὸ ὑποκείμενον· ἐναντιότητας δέ εἰσι· θερμόν, ψυχρόν, ξηρόν, ὑγρόν. Πάντες δὲ σωματικόν τι τὸ ἓν ὑποτίθενται τοῦτο.

Ἀναξαγόρας τὰς ὁμοιομερείας κατὰ τὸ ὑποκείμενον ἀρχὰς θέμενος, ἀπείρους ἔλεγε ταύτας, καὶ τὸ ποιητικὸν δὲ αἴτιον ἓν ἔλεγε, τὸν διακρίνοντα νοῦν· Ἐμπεδοκλῆς δὲ πλείους ἀρχὰς κατὰ τὸ ὑποκείμενον, τὰ τέσσαρα στοιχεῖα, ἓν δὲ τὴν φιλίαν καὶ τὸ νεῖκος, οὐχ ἅμα, ἀλλὰ παρὰ μέρος ἑκάτερον. Ἢ οὐχὶ τὸ ποιητικὸν αὐτοὺς ἓν λέγειν ῥητέον, ἀλλ' αὐτὸ τὸ μίγμα, ὃ ἦν, κατὰ μὲν Ἀναξαγόραν, ἐκ τῶν ὁμοιομεριῶν ἀπείρων τῷ πλήθει μεμιγνυμένων· κατὰ δὲ Ἐμπεδοκλέα, ἐκ τῶν τεσσάρων στοιχείων ποτὲ μὲν συγκρινομένων ὑπὸ τῆς φιλίας, ποτὲ δὲ διακρινομένων ὑπὸ τοῦ νείκους καὶ ποιούντων τόνδε τὸν κόσμον. Διαφέρουσι δὲ ἀλλήλων πρῶτον μὲν τῷ τὸν Ἀναξαγόραν λέγειν ἅπαξ γενόμενον τὸν κόσμον ἐκ τοῦ μίγματος διαμένειν λοιπόν, ὑπὸ τοῦ νοῦ ἐφεστῶτος κυβερνώμενόν τε καὶ διοικούμενον· τὸν δὲ Ἐμπεδοκλέα παρὰ μέρος ἀεὶ κατὰ περιόδους τινὰς ποτὲ μὲν σύγκρισιν τῶν τεσσάρων στοιχείων παρὰ τῆς φιλίας γινομένην ὑπο-

Ε.Υ. Δημ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τίθεσθαι, ποτὲ δὲ διάκρισιν ὑπὸ τοῦ νείκους· ἔπειτα δὲ τῷ τὰ πολλά, ἐξ ὧν τὸ πῦρ, τῷ τὸν μὲν Ἀναξαγόραν ἄπειρα ὑποτίθεσθαι τὰς ὁμοιομερείας, τὸν δὲ τὰ στοιχεῖα.

Ἀναξαγόρας τοιοῦτόν τινα δυνάμει λόγον ἠρώτα· τὸ γινόμενον ἢ ἐξ ὄντος γίνεται, ἢ ἐξ οὐκ ὄντος· ἀλλ' ἐκ μὴ ὄντος ἀδύνατον· ἐξ ὄντος ἄρα· εἰ δὲ τοῦτο, καὶ ἐνυπάρχοντος τῷ ἐξ οὗ ἐστιν· ἕν ἐστιν ἄρα πάντα ἐν τῇ ὁμοιομερείᾳ:

Ἡ δευτέρα αἰτία αὕτη· εἰ φθαρτικὰ μὲν ἀλλήλων φύσει τὰ ἐναντία (φαίνεται δὲ ἐκ τῶν ἐναντίων τὰ ἐναντία γινόμενα), τί ἂν ἄλλο τις ὑποπτεύσειεν ἢ ἐνυπάρχοντα τοῖς ἐναντίοις ἐκκρίνεσθαι τὰ ἐναντία; μὴ γὰρ ἂν γίνεσθαι ἐξ ἐκείνων. —

## Sur le livre II. (Début du chapitre III.)

Ὁ ἁπλῶς χαλκός, τὸ ὕδωρ, τὸ τριχῇ διαστατόν, ἡ πρώτη ὕλη. f. 56

Τὸ γινόμενον περὶ τῇ ὕλῃ εἶδος διὰ τὸ τὴν ὕλην τούτου ἐφίεσθαι. Ἴσως δὲ καὶ διὰ τὸ παράδειγμα τῆς τέχνης γίνεσθαι τὸ φυσικὸν εἶδος: —

Ἐπεί φασί τινες τὴν φύσιν ἄλογον δύναμιν, πῶς οὕτω λέγουσι, καίτοι τέλους ἕνεκά τινος ποιοῦσαν, καὶ τεταγμένως; Ὅτι διττὸς ὁ ποιητικὸς λόγος, ὁ μὲν γνωστικῶς ποιῶν, ὃν καὶ μόνον λόγον οἴονται· ὁ δὲ ἄνευ μὲν γνώσεως καὶ τῆς εἰς ἑαυτὸν ἐπιστροφῆς, τεταγμένως δὲ καὶ ὡρισμένως καὶ προηγουμένου τέλους τινὸς ἕνεκα. Καὶ ὥσπερ τὸ μὴ γινῶσκον ἄλογόν ἐστι πρὸς τὸν γνωστικὸν λόγον, οὕτω καὶ τὸ εἰκῇ ποιοῦν ἄλογόν ἐστιν ὡς πρὸς τὸ τεταγμένως καὶ ἕνεκά του ποιοῦν. Ἡ φύσις οὖν, ὡς μὲν μὴ γνωστικῶς ποιοῦσα ἀλλ' οὐσιωδῶς ἀποτεινομένη πρὸς πάντα καὶ οὐ τῷ προαιρεῖσθαι, ἄλογος λέγεται· ὡς δὲ τεταγμένως ποιοῦσα καὶ καθ' εἱρμὸν καὶ ἕνεκά του, οὐχ ὡς τὰ ἐκ ταὐτομάτου, κατὰ λόγον ποιεῖν λέγεται. Ὥστε ὁ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τοῦ Περὶ γενέσεως καὶ λόγον εἶναι τὴν φύσιν συγχωρεῖ, καὶ συναίτιον μᾶλλον δεῖν λέγειν ψηφίζεται: —

| Ἡ ὕλη κατὰ τὸν Ἀβερόην τριπλῆ· ἡ μὲν ἁπλῆ, ἡ τοῖς στοιχείοις f. 56v ὑποκειμένη· ἡ δέ τις σύνθετος, τοῖς ὁμοιομερέσιν ὑποκειμένη· ἡ δέ τις σύνθετος, τοῖς ἀνομοιομερέσιν ὑποκειμένη. Ἀνταποκρίνεται δὲ τὸ εἶδος τῇ πρώτῃ ὕλῃ, ἡ σύνθεσις τῇ δευτέρᾳ, καὶ τὸ ὅλον τῇ τρίτῃ: —

Τὸ ὑποκείμενον διαφόρως· ἕνα μὲν τρόπον, ὡς ἡ ὕλη τὸ εἶδος ἀναλαμβάνει, ἀλλ' οὐδὲ ὡς τὰ στοιχεῖα κατὰ σύνθεσιν καὶ τὰ μέρη· τρίτον, ὡς τὰ πρῶτα καὶ ἁπλᾶ σώματα, ἅπερ καὶ στοιχεῖα τῶν συνθέτων καλοῦσι κατὰ σύνθεσιν καὶ ἀλλοίωσιν. Ὁσαχῶς δὲ ἡ ὕλη, τοσαυταχῶς καὶ τὸ εἶδος λέγεται:

Καὶ τὸ ποιητικὸν τριχῶς, ὡς ὁ βουλεύσας, ὁ ἰατρὸς καὶ τὸ σπέρμα.

Ε.Υ. Δήμας Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὁ μὲν βουλεύσας τὴν ἀρχὴν ἐνδιδοὺς τῆς ποιήσεως, οὐκ ἐφαπτόμενος· ὁ δ' ἰατρὸς αὐτὸς ἐργαζόμενος· τὸ δὲ σπέρμα μέσον πως τοῦ τε ποιητικοῦ καὶ τοῦ ὑλικοῦ, εἴπερ τῇ ἑαυτοῦ μεταβολῇ καὶ γινόμενον ἅμα ποιεῖ, τοῦ κυρίως ποιοῦντος ἐξηρτῆσθαι τοῦ γινομένου ὀφείλοντος:

Οὔτε ἐν τῷ δευτέρῳ τῶν Ὑστέρων, οὔτε ἐν τῇ Μετὰ τὰ φυσικά, οὔτε ἐνταῦθα τίθησιν ἕνα λόγον τοῦ αἰτίου, ἵνα μετὰ ταῦτα διέλῃ τοῖς εἴδεσι, διότι τὸ αἴτιον οὐκ ἔστι συνώνυμος, ἀλλὰ κατὰ τὸ πρότερον καὶ ὕστερον λέγεται· πρώτως γὰρ καὶ καθ' αὑτὸ λέγεται περὶ τοῦ τελικοῦ αἰτίου, ὡς τὸ τῆς ἀρχῆς ὄνομα καθ' αὑτὸ περὶ τῆς ποιητικῆς αἰτίας, καὶ τὸ στοιχεῖον καθ' αὑτὸ περὶ τῆς ὕλης καὶ τοῦ εἴδους, ὡς ἐν τῇ ἀρχῇ τοῦ πρώτου ἐρρήθη:

Δοκεῖ μετὰ τῶν ἀπηριθμημένων αἰτίων εἶναι αἰτίαν· αἰτία γάρ ἐστιν ᾗ τῷ εἶναι ἕπεταί τι, δηλονότι τὸ ἀποτέλεσμα· ἀλλὰ τῇ ὕλῃ καθ' αὑτὴν οὐχ ἕπεταί τι οὐδὲ τῶν ἄλλων αἰτίων οὐδενί, ἀλλὰ πᾶσιν ὁμοῦ. Πᾶσιν ἄρα ἅμα τοῖς προειρημένοις ἁρμόζει τὸ ὄνομα τῆς αἰτίας, καὶ οὐδενὶ καθ' αὑτό:

Ἐν ἑκάστῳ ἀποτελέσματι δύο θεωροῦνται· ἡ τελειότης αὐτοῦ, καθ' ἥν ἐστιν ἓν καθ' αὑτό, καὶ ἡ τάξις ἣν ἔχει πρὸς ἕκαστον τῶν αἰτίων πολλῶν ὄντων, ὡς ἀτελὲς καὶ αἰτιατὸν ἀναφερόμενον πρὸς ἐκεῖνα. Κατὰ μὲν οὖν τὸ πρῶτον, οὐκ ἀρκούντως ἀναφέρεται πρὸς ἓν ὁποιονοῦν τῶν τεσσάρων αἰτίων· οὐ γὰρ ἀρκεῖ πρὸς τὴν ὅλην τελειότητα τοῦ αἰτιατοῦ τὸ ἓν μόνον αἴτιον ἄνευ τῶν λοιπῶν. Κατὰ δὲ τὸ δεύτερον ἀρκούντως ἀναφέρεται πρὸς ἕν. Ἢ καὶ ἄλλως· ὅτι πρὸς μὲν τὸ τοιόνδε εἶναι ἀνάγκη πάντα τὰ αἴτια συνεζεῦχθαι· πρὸς δὲ τὸ ἁπλῶς εἶναι ἀρκεῖ καὶ ἡ τοῦ ἑνὸς αἰτίου λῆψις ὁποιουοῦν. Ὅθεν καὶ ἐν ταῖς ἀποδείξεσιν, ὁποιουοῦν ὄντος αἰτίου, ἀνάγκην εἶναι φαμὲν καὶ τὸ ἀποτέλεσμα: —

| Φυσικὴ ὕλη | | |
|---|---|---|
| ἢ ἁπλῆ ἐστιν, ὡς ἡ πρώτη ὕλη ὡς τοῖς στοιχείοις ὑποκειμένη. | ἢ σύνθετος πρώτη, ὡς τὰ δ$^{\alpha}$ στοιχεῖα, τὰ τοῖς ὁμοιομερέσιν ὑποκείμενα σαρκὶ καὶ ὀστέοις: | ἢ σύνθετος β', ὡς σάρκα καὶ ὀστᾶ, τὰ τοῖς ἀνομοιομερέσιν ὑποκείμενα, οἷον χειρί, κεφαλῇ: |

| ἡ τεχνικὴ ὕλη | | |
|---|---|---|
| ἢ ἁπλῆ, ὡς τὰ στοιχεῖα τῶν συλλαβῶν. | ἢ σύνθετος πρώτη, ὡς ἡ ὕλη τῶν σκευῶν. | ἢ σύνθετος δευτέρα, ὡς αἱ προτάσεις τοῦ συμπεράσματος: |

f. 57 | Πολύκλειτος ὁ ἀνδριαντοποιὸς ἐδημιούργησεν ἀνδριάντα, πᾶσαν ἔχοντα μελῶν συμμετρίαν καθ' αὑτὰ μὲν καὶ πρὸς ἄλληλα, ὡς διὰ τοῦτο τὸν Πολύκλειτον καλεῖσθαι κανόνα:

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τὸ δυνάμει νῦν λέγει οὐκ ἐπὶ τοῦ οἵου τε γενέσθαι· οὐκέτι γὰρ οἷά τε γενέσθαι τὰ ἤδη γεγονότα, τοιοῦτος δὲ ὁ οἰκοδομήσας οἰκοδόμος καὶ ἡ οἰκοδομηθεῖσα οἰκία· ἀλλ᾽ ἁπλῶς ἀντικείμενα τοῖς ἐνεργοῦσι. Ταῦτα δέ ἐστι τὰ οὐκ ἐνεργοῦντα· οὐκ ἐνεργεία δὲ τά τε οἷά τε ἐνεργῆσαι καὶ τὰ πεπαυμένα τῆς ἐνεργείας:

**Chapitre IV.** — Τὸ πρῶτον ἐπιχείρημα τῶν ἀναιρούντων τὴν τύχην καὶ τὸ αὐτόματον τοιοῦτον· πάντων τῶν γινομένων αἴτια ὡρισμένα εἰσίν· οὐδενός, ὧν ἐστιν αἴτια ὡρισμένα, αἰτία ἂν εἴη ἡ τύχη, ἢ τὸ αὐτόματον, διότι κἂν αἴτια ταῦτα λέγωσιν, ἀλλ᾽ ἀόριστα πάντες ὁμολογοῦσιν· οὐδενὸς ἄρα τῶν ὡρισμένων αἰτία ἂν εἴη ἡ τύχη, ἢ τὸ αὐτόματον. Ἔστι δὲ τὸ αὐτὸ συναγαγεῖν καὶ ἐν δευτέρῳ σχήματι:

Ὁ δὲ δεύτερος λόγος τοιοῦτος ἂν εἴη. Εἰ ἔστι τῶν γινομένων αἴτιον ἡ τύχη καὶ τὸ αὐτόματον, ἄτοπον ἄν τι καὶ ἄπορον ἀκολουθήσειε. Τί δήποτε οἱ πάλαι σοφοί, τὰς αἰτίας τῆς γενέσεως καὶ φθορᾶς λέγοντες, τούτων οὐκ ἐμνημόνευσαν; Ὧ δὲ ἄτοπον ἀκόλουθον καὶ αὐτὸ ἄτοπον ἂν εἴη. Ἄτοπον ἄρα τὸ εἶναι τῶν γινομένων τινὸς αἰτίαν τὴν τύχην, ἢ τὸ αὐτόματον. Δυνατὸν δὲ καὶ οὕτω συνάγειν. Εἰ μηδὲ τῶν ἀρχαίων σοφῶν τις αἴτιον τὴν τύχην καὶ τὸ αὐτόματον ἐνόμισαν οὐδὲ εἶναι αὐτὰ αἴτια εἰκός· ἀλλὰ μὴν τὸ ἡγούμενον, τὸ ἄρα, λῆγον. Ὅτι δὲ οὐδεὶς τῶν ἀρχαίων ἐνόμιζε, δείκνυσιν οὕτως· εἰ ἐνόμιζον οἱ τὰ αἴτια γενέσεως καὶ φθορᾶς εἰπόντες αἴτιον εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον, διώρισαν ἂν περὶ αὐτῶν· ἀλλὰ μὴν οὐ διώρισαν: —

Πρὸς τοὺς δύο λόγους ἀπαντᾷ τούτους οὐ δεικνύναι μὴ εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον. Καὶ πρῶτον, πρὸς τὸν πρῶτον, δεικνὺς αὐτὸν τοὐναντίον ἢ βούλεται περαίνοντα· βούλεται μὲν γὰρ ἀναιρεῖν τὴν τύχην· λανθάνει δὲ μᾶλλον αὐτὴν κρατύνων. Εἰ γὰρ ἔχοντες ἅπαντα τὰ γινόμενα εἰς ὡρισμένας ἀνάγειν αἰτίας καὶ τοῦτο οὐκ ἀγνοοῦντες, ὅμως οὐχ ἅπαντα εἰς ταύτας ἀνάγομεν, ἀλλὰ καὶ ἀπὸ τύχης γίνεσθαι λέγομέν τινα καὶ ἐκ ταὐτομάτου, δῆλον ὡς ἕτερόν τι, παρὰ τὴν ὡρισμένην καὶ πρόδηλον ἀρχὴν οὖσαν, τὴν τύχην αἰτιώμεθα, καὶ ἔδει διὰ τοῦτο ὡς οὖσαν τὴν τύχην μνήμης τινὸς τυχεῖν. Νῦν δὲ οὐ φαίνονται μνημονεύσαντες· οὔτε γὰρ τύχην ὀνομάζουσιν, οὔτε τι ἄλλο τῶν δοκούντων αὐτοῖς, οἷον φιλίαν, ἢ νεῖκος, ἢ νοῦν, ἢ πῦρ, ἢ ἄλλο τι τοιοῦτον, ἐπεὶ ταῦτα ὥρισται τὰ αἴτια. Τοῦτο δὲ πᾶν καὶ πρὸς τὸν δεύτερόν πως ὑπαντᾷ λόγον, πρὸς ὃν ὑπαντῶν ἔτι φησὶν τὸ ἄτοπον οὐ τοῖς λέγουσι τὴν τύχην αἴτιον ἀκολουθεῖν, ἀλλὰ τοῖς πάλαι φυσιολόγοις. Εἴτε γὰρ μηδὲν ὑπελάμβανον αἴτιον εἶναι τὴν τύχην, οὕτως ἐναργῶς οὖσαν ἄτοπον, καὶ ὅτι σοφοὺς οἰομένους εἶναι καὶ περὶ τῶν ὅλων σκοπεῖσθαι δυνατοὺς τοῦτο διελάνθανε· καὶ ὅτι μὴ ὑπολαμβάνοντες εἶναι, ὅμως οὐκ ἔπαθον τοὺς ἀνθρώπους, ὅτι ἐπὶ κενὸν ὄνομα καταφέρονται· εἴτε ὑπολαμβάνοντες εἶναι, παρέλιπον διδάξαι τίς ἐστι καὶ

τίνα ἔχει δύναμιν ἡ τύχη, καὶ τοῦτο ἄτοπον, τὴν καὶ περὶ τῶν αἰτίων γνώμην ἀποφηναμένους, περὶ τούτου παραλιπεῖν. Ὅτι δὲ εἶχον ἔννοιάν τινα περὶ τῶν κατὰ τύχην συμβαινόντων, δηλοῖ τὸ χρῆσθαι ἐνίοτε τῷ ὀνόματι, ὥσπερ Ἐμπεδοκλῆς: —

f. 57v | Σημειωτέον ὡς, εἰ μέμφεται Ἀριστοτέλης τοῖς λέγουσιν ἐκ ταὐτομάτου εἶναι τὸν οὐρανόν, μηδεμίαν δὲ αἰτίαν αὐτοῦ εἶναι, οἵαν τῶν ζῴων καὶ τῶν φυτῶν δηλονότι, καὶ γίνεσθαι τὸν οὐρανὸν βούλεται, εἰ καὶ μὴ ἐν μέρει χρόνου καὶ ἀπὸ ποιητικοῦ πάντως αἰτίου ὡρισμένου καὶ τεταγμένου, ἀλλ' εἴη ἂν τὸ ποιοῦν νοῦς, ἢ εἴ τι καὶ νοῦ κρεῖττον, εἴπερ καὶ τῶν ζῴων καὶ τῶν φυτῶν ἢ φύσιν, ἢ νοῦν, ἤ τί τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον συγχωρεῖ. Φύσιν φησὶ τὴν ἑκάστου τῶν στοιχείων εἰς τὸν οἰκεῖον τόπον φοράν, ἥτις καὶ διακρίνει αὐτὰ τῶν ἑτερογενῶν. Δίνην δέ φησι τὴν τοιαύτην τάξιν ἔχειν τὸ πᾶν καταστήσασαν, ἥνπερ ἔχει νῦν, ὡς συμπεριφέρεσθαι τῷ οὐρανῷ τὸν ἀέρα, καὶ τὴν γῆν ἐν μέσῳ φυλάττεσθαι διὰ τὴν ὀξεῖαν περιδίνησιν: —

Λαβὼν ὁμολογούμενον τὸ γινόμενον τινὸς αἰτιατὸν εἶναι πάντως καὶ τὸ ποιοῦν αἴτιον αὐτοῦ, δείκνυσιν ὅτι τὰ ὡς ἐπ' ἔλαττον ὄντα καὶ ἔστιν ἐν τῇ φύσει τῶν ὄντων καὶ ἀπὸ τύχης καὶ ταὐτομάτου γίνονται. Εἰ οὖν τὰ ὡς ἐπ' ἔλαττον γινόμενά ἐστιν ἐν τῇ φύσει καὶ ἀπὸ τύχης καὶ ταὐτομάτου γίνονται, φανερὸν ὅτι ἔστιν ἡ τύχη καὶ τὸ αὐτόματον:

**Chapitre V.** — Δείξας εἶναι τὴν τύχην καὶ τὸ αὐτόματον, ἐφεξῆς λοιπὸν τὸν τρόπον προστιθεὶς καθ' ὃν ἡ τύχη τῶν ὡς ἐπ' ἔλλαττον αἰτία καὶ τὸ αὐτόματον, ὅτι ὡς τοῖς κατὰ προαίρεσιν καὶ φύσιν γινομένοις παρυφιστάμενον, κατὰ συμβεβηκὸς οὕτως αἰτία ἐστίν, ἐκ τούτων καὶ τὸ τί ἐστι δείκνυσιν. Πρὸς μὲν γὰρ τὸ εἰ ἔστιν, ἤρκει τὸ εἶναι τὰ αἰτιατά· πρὸς δὲ τὸ τίνα τὰ αἴτιά ἐστι, χρεία τοῦ τρόπου τῆς τῶν αἰτιατῶν ὑποστάσεως. Διελὼν οὖν πάλιν τὰ γινόμενα πάντα εἴς τε τὰ ἕνεκά του καὶ τὰ μὴ τοιαῦτα· πολλὰ γὰρ καὶ ἀσκόπως γίνεται, ὡς διὰ συνήθειαν κακὴν τινὲς τὰς τρίχας ἐκτίλλουσιν· καὶ εἰπὼν τίνα ἐστὶ τὰ ἕνεκά του· ὅτι τὰ κατὰ προαίρεσιν, οἷα καὶ τὰ κατὰ τέχνην καὶ τὰ κατὰ φύσιν· δείκνυσιν ὅτι τινὰ τῶν ὡς ἐπ' ἔλαττον γινομένων ἕνεκά του γίνεται, καὶ συλλογίζεται ἐν τρίτῳ σχήματι οὕτως· ἡ τύχη καὶ τὸ αὐτόματον τῶν ἐπ' ἔλαττον· ἡ τύχη καὶ τὸ αὐτόματον τῶν ἕνεκά του, ὅπερ ἔλαβε νῦν ἐκ τῆς διαιρέσεως· τινὰ ἄρα τῶν ἐπ' ἔλαττον ἕνεκά του ἐστίν: —

Τὸ ἕνεκά του θεωρεῖται ἐν τοῖς ἀπὸ τύχης, οὐχ ὅτι ἕνεκά τινος ἐγένετο ἡ πρόοδος, οἷον τοῦ ἀγοράσαι, ἀλλ' ὅτι καὶ τοῦτο ἕνεκα τοῦ τέλους ἐγένετο, ὡς δοκεῖ Πορφυρίῳ· ἦλθε γὰρ ἄν, φησί, κομισόμενος τὸν ἔρανον, εἰ ᾔδει. Κατὰ συμβεβηκὸς δὲ αἴτια γίνεται τὰ ἀπὸ διανοίας καὶ φύσεως, ὅταν μὴ ὧν χάριν γίνεται ταῦτα γίνηται, ἀλλά τινα ἄλλα, οἷον προέρχομαι μὲν διὰ τὸ ἀγοράσαι· περιτυχὼν δὲ τῷ χρεώστῃ, ἀπέλαβον τὸ χρέος·

ΙΩΑΝΝΙΝΑ 2006